UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

LVIII. De constructione martyrii Apostolorum Constantinopoli.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

λειν. συστρατεύειν δ' αὐτῷ καὶ συναγωνίζεσθαι ταῖς πρὸς τὸν Θεὸν ἱκετηρίαις ἔλεγον. σφόδρα δ' ἐπὶ ταῖς ἀγγελίαις ἡσθεὶς, τὴν πορείαν αὐτοῖς διετύπου· [ἔπειτα καὶ τὴν σκηνὴν τῷ τῆς ἐκκλησίας σχήματι πρὸς τὴν ἐκείνου τοῦ πολέμου παράταξιν σὺν πολλῇ φιλοτιμίᾳ κατειργάζετο. ἐν ᾗ τῷ Θεῷ τῷ τῆς νίκης δοτῆρι τὰς ἱκετηρίας ἅμα τοῖς ἐπισκόποις ποιεῖσθαι ἐπενόει.

A oportere. Illi verò, libenti animo ſecuturos ſe eſſe affirmarunt, nec ab illo diſceſſuros; ſed continuis apud Deum ſupplicationibus militaturos unà cum illo & pugnaturos. Quo ille nuntio vehementer delectatus, viam illis qua proficiſcerentur, deſcripſit. Deinde tabernaculum in ſpeciem Eccleſiæ ambitioſo cultu ad hujus belli uſum præparavit; in quo preces ad Deum victoriæ auctorem unà cum Epiſcopis fundere decreverat.

B

Κεφ. ΝΖ'.

Ὅπως Περσῶν πρεσβείας δεξάμενος, ἐν τῇ τοῦ πάσχα ἑορτῇ συνδιενυκτέρευσε τοῖς ἄλλοις.

ΕΝ τούτῳ Πέρσαι πυθόμενοι περὶ τῆς βασιλέως πρὸς πόλεμον παρασκευῆς, καὶ μάχῃ πρὸς αὐτὸν συμβαλεῖν σφόδρα φοβούμενοι, διὰ πρεσβείας αὐτὸν ἠξίουν τὸ εἰρήνην ποιεῖσθαι. διὸ ὁ μὲν εἰρηνικώτατος βασιλεὺς τὴν Περσῶν πρεσβείαν δεξάμενος, φιλικὰς δεξιὰς προθύμως σὺν ἐκείνοις ἐσπείσατο. ἤδη δ' ἡ μεγάλη τοῦ πάσχα ἑορτὴ παρῆν. ἐν ᾗ ὁ βασιλεὺς τῷ Θεῷ τὰς εὐχὰς ἀποδιδοὺς, συνδιενυκτέρευσε τοῖς ἄλλοις.

CAPUT LVII.

Quomodo ſuſceptis Perſarum Legatis, feſto Paſcha die cum aliis pernoctavit.

INterea Perſæ cùm Imperatorem bellum parare comperiſſent, & cum illo congredi vehementer reformidarent, miſſis Legatis pacem ab eo poſtulaverunt. Itaque Imperator pacis amantiſſimus, Perſarum legatione benignè ſuſcepta, pacem & amicitiam cum eis libenter pepigit. Aderat jam magna Paſchalis feſti ſolemnitas: in qua Imperator vota Deo perſolvens, unà cum ceteris pernoctavit.

C

Κεφ. ΝΗ'.

Περὶ οἰκοδομῆς τοῦ ἐπικαλουμένου τῶν Ἀποστόλων ἐν Κωνσταντινουπόλει μαρτυρίου.

ΕΠὶ τούτοις τὸ μαρτύριον ἐν τῇ ἐπωνύμῳ πόλει, ἐπὶ μνήμῃ τῶν Ἀποστόλων οἰκοδομεῖν παρεσκευάζετο·] αὐτὸς δὲ νεὼν ἅπαντα εἰς ὕψος ἄφατον ἐπάρας, λίθων ποικιλίαις παντοίων ἐξαστράπτοντα ἐποίει, εἰς αὐτὸν ὄροφον ἐξ ἐδάφους πλακώσας· διαλαβὼν δὲ λεπτοῖς φατνώμασι τὴν στέγην, χρυσῷ τὴν πᾶσαν ἐκάλυπτεν· ἄνω χαλκὸς μὲν ἀντὶ κεράμου, φυλακὴν τῷ ἔργῳ πρὸς ὑετῶν ἀσφάλειαν παρεῖχε· καὶ τοῦτον δὲ πολὺς περιέλαμπε χρυσὸς. ὡς μαρμαρυγὰς τοῖς πόῤῥωθεν ἀφορῶσι ταῖς ἡλίου αὐγαῖς ἀντανακλωμέναις ἐκπέμπειν. δικτυωτὰ δὲ πέριξ ἐκύκλου τὸ δωμάτιον ἀνάγλυφα, χαλκῷ καὶ χρυσῷ κατειργασμένα.

CAPUT LVIII.

De conſtructione Martyrii Apoſtolorum Conſtantinopoli.

POſthæc in memoriam Apoſtolorũ Martyrium ædificare cœpit in urbe ſibi cognomine. Cumque templum omne in immenſam altitudinem extuliſſet, vario lapidum genere ſplendidum reddidit, à ſolo ad cameram uſque marmoreis cruſtis illud operiens. Porro cameram lacunaribus minutiſſimi operis obducens, totam auro imbracteavit. Et ſuprà quidem, æs tegularum D loco impoſitum, univerſo ædificio munimentum adverſus imbres præbebat. Quod itidem auro plurimo ſuperfuſum reſplendebat; adeo ut procul ſpectantium oculos fulgore præſtingueret, Solis radiis æris objectu repercuſſis. Totum vero ſolarium reticulatis quibuſdam anaglyphis ex ære & auro fabrefactis erat circumdatum.